τί γὰρ εἶπεν ὁ μῦθος; ὅτι ʻτὰ πρεσβεῖα δώσω τῷ Μίνωϊ, ἵνα εἰ ἀπορῆτον οἱ δύο, ὅ τε Ῥαδάμανθυς καὶ ὁ Αἰακός, ἀναφέρουσι τῷ Μίνωϊʼ. ὁρᾷς πῶς ἡ δυὰς ἤρτηται ἐκ τῆς οὐρανίας μονάδος; ἀποροῦσιν οὖν οἱ ἐκεῖ δικασταί; φαμὲν ὅτι ἐπειδὴ εἴωθεν ἡ ἀπορία γνῶσιν τίκτειν, τὴν καταδεεστέ|ραν 237 γνῶσιν ὡς πρὸς τὴν θείαν γνῶσιν καὶ ἐξηρημένην ἀπορίαν ἐκάλεσεν. ἐπεὶ οὖν αἱ καταδεέστεραι δυνάμεις ἤρτηνται τῆς μιᾶς πάντων ἀρχῆς, διὰ τοῦτο οὕτως εἶπεν.

3 Λέγει δὲ καὶ τὸν τόπον ἔνθα δικάζουσιν οὗτοι, καί φησιν ὅτι ἐν τῷ λειμῶνι καθέζονται καὶ δικάζουσιν ἐν τριοδίᾳ. τί τοίνυν ἐστὶν ὁ λειμών; ἰστέον ὅτι τὴν γένεσιν ὑγρὰν καλοῦσιν οἱ παλαιοί· οὕτω γοῦν καὶ λέγεται περὶ τῆς ψυχῆς ʻψυχῇσιν βροτέαις θάνατος ὑγρῇσι γενέσθαιʼ, διὰ τὸ ῥευστὸν καὶ ὑδρηλὸν καὶ διὰ τὸ ἀνθεῖν αὐτῶν ἐνταῦθα τὰς ζωάς. λέγεται τοίνυν ὁ δικαστικὸς τόπος ἐν τῷ αἰθέρι εἶναι μετὰ τὰ ὑπὸ σελήνην. ἐπεὶ οὖν ἐν τῷ τελευταίῳ τόπῳ τῆς γενέσεώς ἐστιν ὁ δικαστικὸς τόπος, λειμὼν δέ ἐστιν οὗτος ὡς εἴρηται διὰ τὸ δίυγρον καὶ ποικίλον, διὰ τοῦτο λειμὼν λέγεται. ἔστιν δὲ ἐκεῖ τριοδία, ἐπειδὴ ἀπὸ τοῦ τόπου ἐκείνου αἱ μὲν ἀνάγονται ὡς ἄξιαι τῆς ἀναγωγῆς τῆς ἐπὶ τὰ οὐράνια, αἱ δὲ καταπέμπονται ἐπὶ τὰ χθόνια, αἱ δὲ ἐν τῷ μεταξὺ τόπῳ κατέρχονται, ὅ ἐστιν ἐν τῇ γενέσει πάλιν. δικαστὴς δὲ λέγεται οἷον διχαστὴς νῦν τις ὤν, ἐπειδὴ διχάζει, καὶ τὸν μὲν ἀδικοῦντα κατακρίνει τὸν δὲ εὖ βιοῦντα γερῶν ἀξιοῖ. ταῦτα δὲ κατὰ ἀναλογίαν νόει, οὐ γὰρ τοπικῶς ἀνέρχονται ἢ κατάγονται. πάλιν τοι κἂν-

**mg.** 4 ἀπορία | λύσις || 13 τὸ λόγιον Ἡρακλείτου, φασίν.